## Los voluntarios se ponen en marcha.

### NOTAS

ἢν introduce una oración condicional.

ἰέναι sigue dependiendo de συντίθενται.

ὡς ἂν δύνωνται τάχιστα = ὡς con superlativo = *lo más rápidamente que puedan.*

ὡς δισχίλιοι = ὡς con numeral = *aproximadamente dos mil.*

ὡς μάλιστα *lo más posible.*

Καὶ ἦν μὲν δείλη, οἱ δ' ἐκέλευον αὐτοὺς ἐμφαγόντας πορεύεσθαι. καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς, καὶ συντίθενται τὴν μὲν νύκτα, **ἢν** λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν, ἅμα δὲ τῇ ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄντας **ἰέναι** ἐπὶ τοὺς κατέχοντας τὴν φανερὰν ἔκβασιν, αὐτοὶ δὲ συμβοηθήσειν ἐκβαίνοντες **ὡς ἂν δύνωνται τάχιστα**. ταῦτα συνθέμενοι οἱ μὲν ἐπορεύοντο πλῆθος **ὡς δισχίλιοι**· καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ· Ξενοφῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν καὶ **ὡς μάλιστα** λάθοιεν οἱ περιιόντες.